## Α΄

*Πλάτων Διονυσίῳ εὖ πράττειν.* 309

*Διατρίψας ἐγὼ παρ᾽ ὑμῖν χρόνον τοσοῦτον καὶ διοικῶν τὴν ὑμετέραν
ἀρχὴν πεπιστευμένος πάντων μάλιστα, τὰς ὠφελίας ὑμῶν λαμβανόντων,
τὰς διαβολὰς δυσχερεῖς οὔσας ὑπέμενον· ᾔδη γὰρ ὅτι τῶν ὠμοτέρων οὐδὲν
ἐμοῦ συνεθέλοντος ὑμῖν δόξει πεπρᾶχθαι· πάντες γὰρ οἱ συμπολιτευόμε-
νοι μεθ᾽ ὑμῶν ὑπάρχουσί μοι μάρτυρες, ὧν ἐγὼ πολλοῖς συνηγωνισάμην,* B
*ἀπολύσας αὐτοὺς οὐ σμικρᾶς ζημίας. αὐτοκράτωρ δὲ πολλάκις τὴν ὑμε-
τέραν πόλιν διαφυλάξας ἀπεπέμφθην ἀτιμότερον ἢ πτωχὸν ὑμῶν ἀπο-
στελλόντων προσήκει καὶ κελευόντων ἐκπλεῦσαι, τοσοῦτον παρ᾽ ὑμῖν δια-
τρίψαντα χρόνον. ἐγὼ μὲν οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι τὸ λοιπὸν τρόπον
ἀπανθρωπότερον, σὺ δὲ*

*τοιοῦτος ὢν τύραννος οἰκήσεις μόνος.*

*τὸ δὲ χρυσίον τὸ λαμπρόν, ὅπερ ἔδωκας εἰς ἀποστολήν, ἄγει σοι Βακχεῖος* C
*ὁ τὴν ἐπιστολὴν φέρων· οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γ᾽ ἦν ἱκανὸν οὔτε πρὸς
τὸν ἄλλον βίον ξυμφέρον, ἀδοξίαν δὲ πλείστην μὲν τῷ διδόντι σοὶ παρα-
σκευάζον, οὐ πολλῷ δὲ ἔλαττω κἀμοὶ τῷ λαμβάνοντι, διόπερ οὐ λαμβάνω.
σοὶ δ᾽ οὐδὲν διαφέρει δῆλον ὅτι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον, ὥστε
κομισάμενος ἄλλον τινὰ τῶν ἑταίρων θεράπευσον ὥσπερ ἐμέ· κἀγὼ γὰρ* D
*ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. καί μοι τὸ τοῦ Εὐριπίδου* (fr. 956) *κατὰ
καιρόν ἐστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων*

*εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι.*

*ὑπομνῆσαι δέ σε βούλομαι διότι καὶ τῶν ἄλλων τραγῳδιοποιῶν οἱ πλεῖ-*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id409671924/9 UNIVERSITÄT LEIPZIG